# Χαιρετισμοί εις την Αγίαν Μεγαλομάρτυρα Φωτεινή την Σαμαρείτιδα




Κοντάκιον.
Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.
Τῆς Σαμαρείας τήν λαμπάδα τήν πυρσόφωτον, ἐκ τοῦ Σωτῆρος δεξαμενήν αἴγλην χάριτος καί ἰθύνασαν τό γένος αὐτῆς Κυρίῳ, ὡς μαθήτριαν ἠγάθεον τιμήσωμεν, Φωτεινήν, σῦν τέκνοις πᾶσι καί ὁμαίμοσιν, ὕμνοις λέγοντες· Χαίροις Μάρτυς Φωτώνυμε!

Οἵ Οἶκοι.
Αὔγασμα φαεσφόρον, Φωτεινῇ, ἀνεδείχθης Χριστοῦ τοῦ σοῦ Νυμφίου, θεόφρον (ἐκ γ')· συντυχοῦσα γάρ θείω Φωτί καί ζητοῦσα ὕδωρ τοῦ πιεῖν ἄφθιτον, πιστούς ἀρδεύεις Πνεύματα βοᾶν σοι μυστικῶς τοιαῦτα·

Χαῖρε, γυνή ἥ Θεόν ποθοῦσα,
χαῖρε, Σωτῆρα ἥ κατιδοῦσα.
Χαῖρε, ποτισθεῖσα τό ὕδωρ τῆς γνώσεως,
χαῖρε, μεταγνοῦσα ἐκ βίου πορώσεως.
Χαῖρε, Νύμφη, ἥ ἰχνεύουσα τά παθήματα Χριστοῦ,
χαῖρε, κῆρυξ διαγγέλλουσα τήν ἀγάπησιν Αὐτοῦ.
Χαῖρε, τοῦ Παραδείσου Χριστοπότιστον ἄνθος,

χαῖρε, τῆς Σαμαρείας θεοπόθητον κάλλος.
Χαῖρε, σαρκός νικῶσα τό ἄστατον,
χαῖρε, παθών νεκρώσασα ἄναλτον.
Χαῖρε, γλυκεῖα βοή μετανοίας,
χαῖρε, τό εἶλαρ τῆς ἡμῶν σωτηρίας.

Χαίροις Μάρτυς Φωτώνυμε!

Βίου ἐκ ζοφωτάτου ἀνελκύει Παντάναξ είς φρέαρ Ιακώβ θείω βέλει κατατρώσας σε, ὦ Φωτεινῇ· Σαμαρείας ὅθεν ἐν ὁδῷ ἔδραμες τόν Ζῶντα ἐξαγγέλλουσα, ἐγείρουσα τε πάντας κράξειν·

Ἀλληλούια.

Γνόφον τῆς ἀπιστίας διαλύουσα, μάκαρ, σοῖς λόγοις, Φωτεινῇ, καταπείθεις ἐγγενεῖς σου λατρεύειν Θεόν ἀλήθεια ὄντως καί ζητεῖν Πνεύματι· διό πανευγνωμόνως σοι προσάγουσι μολπάς τοιᾶσδε

Χαῖρε, ὅ ὄμβρος Χριστολογίας,
χαῖρε, τό μύρον Θεοῦ λατρείας.
Χαῖρε, οἰκουμένης τό ἄλκαρ τό εύσθενον,
χαῖρε, ἀηδῶν ὀρθοδόξων θεόπνευστος.
Χαῖρε, νᾶμα ἤ ἀρύσασα ἐκ χειλέων θεϊκῶν,
χαῖρε, αὔρα ἤ ἡδύοσμος Βασιλείας οὐρανῶν.
Χαῖρε, τῆς ἀφθαρσίας ἤ θηρεύσασα δόξαν,
χαῖρε, τῆς ἐγκρατείας τῷ ὀχήματι βᾶσα.
Χαῖρε, σοφίας ἔρασμον ἤχημα,
χαῖρε, Ἐδέμ ἀΰλου ἐντρύφημα.
Χαῖρε, πυξίς ἀγωγῆς φιλοθέου,
χαῖρε, ἠώς βιοτῆς τῆς ἀσμένου.

Χαίροις Μάρτυς Φωτώνυμε!

Δύναμιν προσλαβοῦσα ἐκ φωτός ὑπερθέου ἐπήρθης εἴς τοῦ ἔρωτος γνῶσιν· καί ἁγνείας ὁδόν εὐχερῶς, Φωτεινῇ, διήνυσας λαμπρῶς χαίρουσα, Χριστόν τε ἀναπνέουσα καί ὕμνον πρός Αὐτόν βοῶσα·

Ἀλληλούια.

Ἔλεον κεκτημένη καινουργίας λαμπάδι ἐσκόρπισας σόν ηλοῦτον ὢς κόνιν· καί

σταθεῖσα εἴς βῆμα κριτῶν, τόν Χριστόν κηρῦξαι φωταυγώς ἔσπευσας ἐν λογοῖς καί ἐν θαύμασι ἀκούουσα ἐκ πάντων τοιαῦτα·

Χαῖρε, ἔν μάρτυσιν ἀνδρειόφρων,
χαῖρε, Ἀγγέλων ἔν βίῳ σύμφρων.
Χαῖρε, τῶν θαυμάτων πηγή ἀεί βλύζουσα,
χαῖρε, διδαγμάτων τήν δρόσον ἐκχέουσα.
Χαῖρε, ἄκτωρ ἐπιήρανος συγγενείας ἔν Χριστῷ,
χαῖρε, ῥήτωρ ἥ ἀκρόσοφος ἐκφαυλίζουσα ἐχθρόν.
Χαῖρε, ὅτι ἐγένου προσευχαῖς ὧς πυρφόρος,
χαῖρε, ὅτι ἐδείχθης ἔν πληγαῖς καρτερόφρων.
Χαῖρε, ὁλκάς Χριστῷ προσορμίζουσα,
χαῖρε, ἀμνάς Ποιμένα γινώσκουσα.
Χαῖρε, άΰλου παστάδος οἰκῆτορ,
χαῖρε, τῶν φαύλων δαιμόνων ὄ ἡμῶν.

Χαίροις Μάρτυς Φωτώνυμε!

Ζῶν τό ὕδωρ ζητούσῃ. τῷ στεγάζοντι, μάκαρ, ἔν ὕδατι Χριστῷ ὑπερῷα, Φωτεινῇ, σοί παρεῖχε πιεῖν· καί προσεπιγνοῦσα τό Αὐτοῦ
εὔσπλαγχνον, ἀνέβλυσας τόν ὕμνον σου προσᾴδουσα ὧς σῦριγξ οὕτως·

Ἀλληλούια.

Ἢνοιξας διανοίας Θεοῦ Λόγε, τάς κόρας, καί ὦτα θεογνώστῳ σοφία Σαμαρείτιδος σή τῇ, φωνῇ· καί πιστῶς δεχθεῖσα ἔξ Ἐδέμ ἄντλημα, αὐχμοῦ τῶν παραπτώσεων λυτροῦται καί πιστοῖς ἀκούει·

Χαῖρε, τό ἄσμα θεογνωσίας,
χαῖρε, τό φθέγμα τῆς εὐγενείας.
Χαῖρε, ἀοράτου Πατρός ἀναζήτησις,
χαῖρε, συνανάρχου Υἱοῦ ἐξομοίωσις.
Χαῖρε, σμάραγδε πολύκλυτε τῶν ἁγίων λογισμῶν,
χαῖρε, ιρίς ἥ κοσμήσασα ἀποστόλων τόν χορόν.
Χαῖρε, κόλπος φυτάλμιος συγγόνων μαρτύρων,
χαῖρε, ὅρμος ἀνήνεμος τῶν σε ἐκζητούντων.
Χαῖρε, Χριστοῦ τό ἔδος τό κλύμενον,
χαῖρε, πιστῶν τό εἶδαρ τό εὔγευστον.
Χαῖρε, ἀχλύν τῶν δαιμόνων φυγοῦσα,

χαῖρε, ἀρτάνῃ βελίαρ ἔλουσα.

Χαίροις Μάρτυς Φωτώνυμε!

Θέλων τήν σωτηρίαν Σαμαρείτιδι νέμειν είδ φρέαρ ὅ Σωτήρ ἐπεφάνη, αἰωνίαις λαλῶν ἐν φωναῖς καί αἰτῶν ὅ Λόγος τού λαβεῖν ὕδατος ἀνάψυξιν καί ἄφεσιν βραβεῦσαι τῆ, βοώσῃ πόθῳ

Ἀλληλούια.

Ἰλαόν τόν Δεσπότην, Φωτεινῇ, * ἐπιγνοῦσα, τῷ ὕδατι ὦς μύρω ἐχρίσθης, τόν Χριστόν ἐνδυθεῖσα σεμνή· διό πάντας, εὖφρον, σήδ σεπτῆς χάριτος μετόχους ἐνδεικνύουσα, ἀκούεις ἀσιγήτως ταῦτα

Χαῖρε, τό βάθος εὐχαριστίας,
χαῖρε, τό θέλκτρον τῆς εὐσεβείας.
Χαῖρε, νοητῆς εὐφροσύνης ἐκτύπωμα,
χαῖρε, ὁρατῆς χαρμοσύνης τό εἴκασμα.
Χαῖρε, ἔλαφος μεγήρατος Θηρατῆρι ἐραστῷ,
χαῖρε, θοίναμα πρσθέμενον σῶ Νυμφίῳ θηητῷ.
Χαῖρε, ὅτι ἐλέγχεις τῶν Ἑβραίων μανίαν,
χαῖρε, ὅτι τυγχάνεις τρισενθέου εὐκλείας.
Χαῖρε, ἀρρήτων φθόγγων ἐνήχησις,
χαῖρε, Ἐδέμ ψεκάδων ἐπίχυσις.
Χαῖρε, κακίας δεινῆς πολεμήτωρ,
χαῖρε, ἀνδρείας πρός ὕψος ἰθύντωρ.

Χαίροις Μάρτυς Φωτώνυμε!

Κῆρυξ Χρίστου Μεσσίου διαπρύσιος ὤφθης, καλλίστη Φωτεινῇ ἀθληφόρε· τῶν κρύφιων γάρ γνώστην Θεόν ἐννοιῶν πασῶν τε φαεινώς βλέποντα τά πλήθη, προσεπέγνωκας καί θάμβει πρός Αὐτόν ἐβόας·

Ἀλληλούια.

Λύσιν τόν παρασχόντα ὀφλημάτων, θελξίφρον, ἠγάπησας ἐξ ὅλης καρδίας· ὦς γάρ ἀΰλων σχοῦσα ζωήν, ἀνδρικοῖς ἀγῶσι σε΄αυτήν δέδωκας, τά γέρα προσκομίζουσα τῶν πόθῳ καί χαρᾷ βοώντων·

Χαῖρε, ἤ ἄνασσα σωφροσύνης,

χαῖρε, δάϊς τῆς ἀγαθωσύνης.
Χαῖρε, σωστικῶν διδαγμάτων εὐάγγελον,
χαῖρε, ψυχικῶν ἀσθενούντων ἐπίκουρον.
Χαῖρε, εἶμα φοινικόβαπτον τό ἐνδῦον Ἰησοῦν,
χαῖρε, φλόξ ἥ ἐμπυρίζουσα ὀχυρώματα ἐχθροῦ.
Χαῖρε, ὅτι ἐδείχθην ἀταρβήν καλλιμάρτυς,
χαῖρε, ὅτι ἐγένου άτρεκής Χριστολάτρις.
Χαῖρε, ἀτμίς ήδίστη πραότητος,
χαῖρε, Θεοῦ εἰκών ὡραιότητος.
Χαῖρε, τό ἄρκος χρηστῆς ἱκεσίας,
χαῖρε, συντρίβουσα ἄρκυς βελίαρ.

Χαίροις Μάρτυς Φωτώνυμε!

Μάρτυς ἀναδειχθεῖσα ἐθελούσιον, ἤχθης κριτῇ ἀρρενωπή διανοίᾳ καί ἐνέγκασα ἄλγη σαρκός, τῷ τήν ἀφθαρσίαν πορφυρῷ εἵματι βασιλικῶν κεκόσμησαι Κυρίῳ, Φωτεινῇ, βοῶσα·

Ἀλληλούια.

Νέρωνι τῷ τυράννῳ σύν υἱοῖς ἀδελφαῖς τε ἐκήρυξας Χριστόν, θεοσέπτορ· ἐκκοπήν διό νεύρων τῶν σῶν καί μολύβδου χύσιν σῶ σεπτῷ στόματι ὑπέμεινας, εὐφραίνουσα τούς ᾄδοντας μολπάς σοι ταύτας·

χαῖρε, ἡ τόλμα θεοσέβειαν,
χαῖρε, ἀστήρ τήν Χριστοεννοίαν.
χαῖρε, ἥ δοθεῖσα Θεῶ θύμα τέλειον,
χαῖρε, ἥ Τριάδον ἑλκύουσα ἔλεος.
Χαῖρε, ὅτι ἀπεκάλυψας τόν Μεσσίαν τοῖς βροτοῖς,
χαῖρε ,ὅτι κατηξίωσαι θείαν ὄψιν κατιδεῖν.
Χαῖρε, ἥ, διορθοῦσα τῆς Προμήτορος πτῶσιν,
χαῖρε, ἥ δώρου μένη τοῖς νοσοῦσι τήν ῥῶσιν.
Χαῖρε, κρηπίς ἐλπίδος ἥ ἄσειστος,
χαῖρε, στολμός εὐφρόνων χρυσόδετος.
Χαῖρε, φροντίς παναρίστη πενήτων,
χαῖρε, χροιᾷ ψαλμικῇ τῶν βοώντων.

Χαίροις Μάρτυς Φωτώνυμε!

Ξέσεις χειρῶν, ὀλβίᾳ, ἒν μαχαίρᾳ ἥ δεχθεῖσα, ὡράθης τοῦ Χριστοῦ ιχνηλάτΐ̔ς μαρτυρίου πορφύραν φαιδράν, ἐνεδύθης ὅθεν, Φωτεινῇ, λάμψεσι μωλώπων ἀγλαΐζουσα τόν Λόγον, ποθεινώς βοῶσα

’Ἀλληλούια.

Ὄμμα άγνής καρδίας διανοίγουσα, μάκαρ, Δομνίνης καί σεπτῆς συνοδίας, ἐφελκύεις αύτάς εΐ̔ς Χριστόν· καί λουτρῷ ἁγίῳ ὁδηγεῖς, πάνσεμνε, παστάδα πρός ἀείφωτον, ἀκούουσα τόν ὕμνον τοῦτον

Χαῖρε, ὁσίων ἥ εὐστολία,
χαῖρε, παρθένων ἥ εύδοξία.
Χαῖρε, Ἱερόν ἀσκουμένων ἐντρύφημα,
χαῖρε, τιμαλφές Ἐκκλησίας τό ἔρυμα.
Χαῖρε, ὅτι διεσκέδασας τῶν εἰδώλων τήν ἀχλύν,
χαῖρε, ὅτι ἰσαπόστολος ἀνεδείχθης εὐκλεής.
Χαῖρε, κλεινήν Δομνῖναν εἰς τό Φώς προσκαλοῦσα,
χαῖρε, τρύγων ὀθνεῖα τήν Τριάδα αἰνοῦσα.
Χαῖρε, ὀσμή ἁγνείας ἀέναος,
χαῖρε, λιτῶν ἁψίς ἥ ἠέριος.
Χαῖρε, πυθμήν μυστικῆς εὐλογίας,
χαῖρε, τό νέκταρ Θεοῦ εὐωχίας.

Χαίροις Μάρτυς Φωτώνυμε!

Πύρωσις τῆς καμίνου ούκ ἐπτόησεν ὅλως, φωτώνυμφε, στερράν σου καρδίαν· ἀβλαβής ὅθεν στᾶσα αὐτῇ, τῆς εὐχαριστίας τήν ῳδήν ἔνειμας τῷ σῶ ἐνύλῳ στόματι Νυμφίῳ ἀκηράτῳ οὕτως·

Ἀλληλούια.

Ῥώμῃ μεγαλομάρτυς, Φωτεινῇ, ἐντρυφᾷ σου θαυμάτων ἐπιδήλων πληθύϊ· δηλητήριον μάγου καί γάρ, ὁ καί προσετάχθης ἐκπιεῖν, ἔδειξας ἀνίσχυρον παντάπασι· διό σοι ἐκβοῶμεν ταῦτα·

Χαῖρε, ἀντέρεισις κακονοίας,
χαῖρε, ἥ στάθμη τῆς ἐμμελείας.
Χαῖρε, χελιδών ἔν ἀθλήσει χαρίεσσα,
χαῖρε, ἀηδών ἠρινῇ ἥ φαέθουσα.

Χαῖρε, ὅτι ἀπενεύρωσας ἐνεργείας μαγικάς,
χαῖρε, ὅτι κατεσίγασας τοῦ βελίαρ ἐπῳδάς.
Χαῖρε, ἄρρηκτε πύργε τούς πιστούς θωρακίζων,
χαῖρε, ἔμψυχε λύχνε τάς ψυχάς ἱριδίζων.
Χαῖρε, πηγῇ χαρᾶς ὀλβιόδωρος,
χαῖρε, ἀκίς ἐχθρῷ ἀλγεσίδωρος.
Χαῖρε, ἡμῶν καρδιῶν εὐθυμία,
χαῖρε, τρυφῇ ὁμωνύμων ἅγια.

Χαίροις Μάρτυς Φωτώνυμε!

Στόματι τήν ὀδύνην, Φωτεινῇ, γευσαμένη μολύβδου καιομένου, ὧς δρόσον προσεδέξω ψυχῇ ἱλαρά καί ᾠδήν μαρτύρων θεαυγώς ἔμελπες Κυρίῳ δυναμοῦντι σε καί στέφος τό ῥοδόχρουν δόντι

Ἀλληλούια.

Τύφλωσιν ὧς ἀδάμας ἀρραγής, Χριστομάρτυς, ἐνέγκω, Φωτεινῇ, ἐν τῷ ὄξει ἐκχυθέντι εΐς ῥώθωνας σοῦ καί εἱρκτήν εΐς δόμον Ἱερόν ἔτρεψας ἐντεύξει ἠγαθέῳ σου, διό τάς εὐφημίας δέχου

Χαῖρε, σαρδόνυξ τῆς εὐψυχίᾳ,
χαῖρε, πανάρετος εὐανθίᾳ.
Χαῖρε, λογισμῶν ἐπικήρων ἥ δίωσις,
χαῖρε, ἐννοιῶν νοσηρῶν ἥ ἐξάκεσις.
Χαῖρε, κῆπε θείου ἄσματος κεκλεισμένε ἐν Χριστῷ,
χαῖρε, ὕδωρ τό ἐνσφράγιστον ἐκπηγάζον δι’ Αὐτόν.
Χαῖρε, ὅτι ώδ νάρδος εὐωδίᾳ ἐγένου,
χαῖρε, ὅτι ὧς Νύμφη έφορμάς ἐκ Λιβάνου.
Χαῖρε, Τριάδος ὅ ἐρῷς ὅ τρίλιστος,
χαῖρε, ἀσπίς ἱκετῶν σου ήιφθιμος.
Χαῖρε, ὁρμῇ πρός Χριστοῦ κοινωνίαν,
χαῖρε, εὐθύτης σεμνῆς πολιτείας.

Χαίροις Μάρτυς Φωτώνυμε!

΄Ύδατι ἁλλομένῳ ποτισθεῖσα ἀρρήτως, πολύαθλος ἐφάνης ὑμνήτωρ· κρεμασθεῖσα γάρ ξέσεις δεινάς, Φωτεινῇ, ἐδέχθης τήν ψυχήν ἄφθορον τηρήσασα ἐκ δράκοντος, ὧς γνοῦσα ἐκβοᾶν ἐν πίστει·

Ἀλληλούια.

Φάους ὁμωνυμίαν κεκτημένη, Ἀγία, διηύγασας ἡμῶν διανοίας· καί έράν τόν Χριστόν ἐκκαώς, Φωτεινῃ, ήμάς ἐκ τοῦ ὁρᾶν εἵλκυσας ἀρίστης σου βιώσεως τάς χάριτας, ὑμνοῦντας οὕτω·

Χαῖρε, ἀστράπτουσα ἔν πρεσβεία,
χαῖρε, αἰόνησις συμπαθείας.
Χαῖρε, ἀγαλλίδ εύστοργίας εὐμύριστος,
χαῖρε, πορφυρίς ἔξ αἱμάτων ἡδύβαπτος.
Χαῖρε, νάβλα ἥ γλυκύφωνος βιοτῆς περιφανοῦς,
χαῖρε, ἕρνος καρτερόψυχον μαρτυρίου θαυμαστοῦ.
Χαῖρε, ὅτι τυράννου ἐταπείνωσας κέρας,
χαῖρε, ὅτι Χριστόν σου ἔν εἱρκτή καθεώρας.
Χαῖρε, πολλά τά γέρα ἀθροίσασα,
χαῖρε, σκηνάς ἀθρύπτους προσκτήσασα.
Χαῖρε, τῶν σῶν συνωνύμων ὅ πόθος,
χαῖρε, πιστῶν ὀρθοδόξων ὅ ὄλβος.

Χαίροις Μάρτυς Φωτώνυμε!

Χαίρουσα ἐθεάσω, Φωτεινῃ, συγγενείας τό σύστημα ἀθλεῖν διά Κτίστην καί μονάς ἐνοικεῖν οὐρανοῦ· τῶν ψυχῶν γάρ ἵμερον ἀλκῇ Πνεύματος Αὐτῷ παραδεδώκασι βοῶντες μαρτυρίου ὕμνον·

Ἀλληλούια.

Ψάλλειν, ἀκαταπαύστως νικητήριον ἄσμα αἰνέσεως, κλεινοῖς σύν ἁγίοις, Φωτεινή, ἠξιώθης, ἁγνῇ· καί αἰτήσεις πάντων ἐσαεί σπεύδουσα πληροῖς τῶν προσιόντων σοι καί λόγοις ἱεροῖς βοώντων·

Χαῖρε, ἀγκίστρῳ Χρίστου νυγεῖσα,
χαῖρε, τῷ Λόγῳ παγιδευθεῖσα.
Χαῖρε, ἀνθηφόρου δεσμίδος ὀσφράδιον,
χαῖρε, αἱμαχθέντος Δεσπότου τό ἔνοπτρον.
Χαῖρε, λίστρον τῆς ἀρόσεως γεωργίου θεϊκοῦ,
χαῖρε, εὔκαρπον ὡράισμα ἀμητοῦ μαρτυρικοῦ.
Χαῖρε, ὅτι ὑπάρχεις μυροφόρων ὁμόφρων,
χαῖρε, ὅτι ἐμπρέπεις Χερουβείμ ὥς συνίστωρ.

Χαῖρε, πυκτίς Ἐδέμ ἀναξίμολπος,
χαῖρε, παιών Θεοῦ ἀμφιβόητος.
Χαῖρε, τερπνότης τῶν σῶν ὑμνητόρων,
χαῖρε, φαιδρότης τῶν σοί κραυγαζόντων.

Χαίροις Μάρτυς Φωτώνυμε!

Ὦ καλλίθυτε Κόρη, Φωτεινῇ γενaιόφρον, τό ἕλκημα Χρίστου τοῦ Νυμφίου (ἐκ γ')· δεξαμενή ἡμών τάς Ὠδάς, εὐσπλαγχνίας σκέπασον ταῖς σαῖς πτέρυξι καί ῥῦσαι πολεμήτορος τούς σε φιλοῦντας καί βοῶντας·

Ἀλληλούια.

Καί αὐθύς τό Κοντάκιον.
Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.
Τῆς Σαμαρείας τήν λαμπάδα τήν πυρσόφωτον, ἐκ τοῦ Σωτῆρος δεξαμενήν αἴγλην χάριτος καί ἰθύνασαν τό γένος αὐτῆς Κυρίῳ, ὡς μαθήτριαν ἠγάθεον τιμήσωμεν, Φωτεινήν, σύν τέκνοις πᾶσι καί ὁμαίμοσιν, ὕμνοις λέγοντες· Χαίροις Μάρτυς Φωτώνυμε!